# II.

## SANCTORUM ATHANASII ET CHRYSOSTOMI EPITIMIA XXIX.

ARGUMENTUM. Circumtulere Græci sub tantis nominibus XXIX canones, quorum pars major etiam nunc apud eosdem vulgantur inter Joannis jejunatoris canones; cæteros dare non piguit, cum nicephorianis facile conferendos; 1us enim est de nuptiis vetitis, — 2, 3 et 8 de homicidarum pœnis, — 4 et 5 de immundis fontibus repurgandis, — 6 de jejuniorum relaxatione pro laborantibus et infirmis, — 7 de pariente intra paschalia, — 9 de abstinentibus quorum privata solvi debent jejunia in præcipuis festis sanctorumque memoriis, — 10 de his qui XLam solvunt, — 11 de clerico homicida.

Ἐπιτίμια μετὰ τῶν ἑρμηνειῶν αὐτῶν, ἃ ἐλάλησεν ὁ Θεὸς διὰ Πνεύματος ἐκ στόματος τῶν δούλων αὐτοῦ τῶν ἁγίων ἀποστόλων, Ἰωάννου τοῦ Χρυσοστόμου καὶ Ἀθανασίου ἀρχιεπισκόπου Ἀλεξανδρείας.

*Epitimia cum interpretationibus, quæ edixit Deus per Spiritum ab ore servorum suorum, SS. apostolorum, Joannis Chrysostomi et Athanasii alexandrini archiepiscopi.*

1. α'. Εἴ τις ἐπίσκοπος ἢ πρεσβύτερος ἢ διάκονος τρίτον ἀῤῥαβῶνα δώσει [1], ἢ δίγαμον στεφανώσει, καθαιρείσθω καὶ διωκέσθω τῆς ἐκκλησίας, ὡς ὁ Σιμὼν ὁ μάγος.

2. β'. Ὁ ἑκουσίως τὸν φόνον ἐργαζόμενος ἐν ἔτεσιν ἑπτὰ ἀκοινώνητος ἔστω· εἰ δὲ μετ' εὐποιίας[2] καὶ προσευχῆς, δ' ἔτη φυλαττέτω· κρέατος καὶ οἴνου, τυροῦ καὶ ἐλαίου μὴ γευέτω τὸ σύνολον· τὰ δὲ λοιπὰ ἐργαζέτω, καὶ οὕτω τῆς κοινωνίας καταξιούσθω [3].

3. γ'. Εἰ δέ τις ἀκουσίῳ γνώμῃ ἐν φονικῷ χρίματι ὑποπέσει, ἔστω δ' ἔτη ἀκοινώνητος· εἰ δὲ μετ' εὐποιίας, χρόνον ἕνα· παραφυλαττέσθω δὲ, καθὼς προείρηται, καὶ οὕτως κοινωνείτω [4].

4. κα'. Εἰ εἰς πηγὴν ὕδατος ἢ λάκκον ἢ ἐν ἑτέρῳ ἀγγείῳ θνησιμαῖόν τι ἢ ἀκάθαρτον ἐμπέσει καὶ ἐν ἀγνοίᾳ πιεῖ τις, νηστευσάτω ἡμέρας ιβ', καὶ κατηχιζέσθω ὑπὸ τοῦ ἱερέως, καὶ οὕτως κοινωνείτω. Εἰ δὲ ἐν γνώσει, νηστευσάτω ἡμέρας μ'.

5. κγ'. Οὕτως δὲ χρὴ τὸ ἐμπεσὸν ἀκάθαρτον εἰς τὸ ὕδωρ λαμβάνειν αὐτὸ, καὶ ῥίπτειν ἔξω· εἶτα ἁγιάζεσθαι τὸ ὕδωρ ὑπὸ τοῦ ἱερέως, ἀντλοῦντος ἐξ αὐτοῦ μ' κάδους ἢ κεράμους· θετεῖν δὲ εἰς αὐτὸ καὶ ὕδωρ τῶν ἁγιασμάτων· εἰ δὲ οὐκ ἔχει, ὁ κανὼν οὐ κωλύει [5].

6. κϐ'. Ἐὰν δὲ εἰσὶ τινὲς ἐργαζόμενοι ἢ ἀσθενεῖς, χρὴ τὸν ἱερέα ἀπολύειν αὐτοὺς εἰς τυρὸν καὶ ἔλαιον μόνον.

7. κδ'. Ἐὰν γυνὴ γεννήσῃ τὸ ἅγιον πάσχα, οὐκ ὀφείλει κοινωνῆσαι, ἕως καθαρισθῇ· πινέτω δὲ ὕδωρ τῶν ἁγίων θεοφανίων [6] καὶ τρωγέτω κρέα.

8. κε'. Ἐὰν οἰκέτης ἐκ δαρμοῦ ἀποθάνῃ, ὀφείλει ὁ τύψας τὸν τοῦ φονέως χρόνον παραφυλάξαι.

9. κς'. Ἐὰν ὦσιν ἐν ὑμῖν τινες ἐγκρατευόμενοι, χρὴ αὐτοὺς εἰς τὰς ἐπισήμους ἑορτὰς καὶ εἰς τὰς μνήμας τῶν ἁγίων καταλύειν.

10. κζ'. Εἴ τις γεύσεται καθαροῦ ἢ ἀκαθάρτου, ἤγουν κρέατος, ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ, νηστευσάτω ἄλλας μ' ἡμέρας, καὶ οὕτως κοινωνείτω.

11. κη'. Εἴ τις κληρικὸς φόνον ποιήσει, δέκα ἔτη μετανοείτω· τὰ γ' ἔτη ἐν ἄρτῳ καὶ ὕδατι, καὶ μετὰ ταῦτα ὑποδεχέσθω ἐν τῇ πόλει αὐτοῦ, εἰ καλῶς δεῖξε τὴν μετάνοιαν, μαρτυροῦντος τοῦ ἐπισκόπου, καὶ τῶν ἱερέων μεθ' ὧν μετενόησε· πληροφορῶν κατενώπιον πάντων, καὶ ἐν ὑποταγῇ τοῖς γονεῦσιν αὐτοῦ ἔσται, λέγων [7]· « Τὸ θέλημα ὑμῶν ποιῶ ὑποτασσόμενος. » Εἰ δὲ τοῦτο οὐ ποιεῖ, μηδὲ ἐν τῇ πατρίδι δεχθήσεται, ἀλλ' ἀπελθέτω κατὰ τὸν Κάϊν, ἐπὶ γῆς ἀλλοτρίας [8].

E cod. Coislin. 363, fol. 36 sqq.

(1) Δώσει. Supra lineam glossa : ἤγουν τὸν δίγαμον πάλιν εἰς τρίτην γυναῖκα ζεύξει. Cf. Niceph. can. 7, 8. — (2) Εὐποιίαι εἰσὶν ἐλεημοσύναι ib. infra lineas. — (3) Καταξιούτω ib. — (4) Κοινωνείτω. Sequuntur canones 18, qui, perpaucis exceptis, iidem leguntur in *canonario* Jejunatoris sive in *Pedatio*, sive in collect. Rhalli, t. IV, p. 445, not. — (5) Κωλύει. Cf. supra Jejunat. *epitimia*, n. 20. Canon qui sequitur perperam ponitur in cod. inter 4 et 5. — (6) Θεοφανίων. Cf. Nicephori, 64 et 90. Occasione data, id mihi corrigendum videtur quod supra ad Nicephori can. 64 minus bene notavi, ὕδωρ τῶν ἁγίων aliam non esse nisi aquam in epiphania benedictam. Dicere aut addere debueram duplicis generis esse apud Græcos aquam benedictam, unam solemniori benedictione, ut notavi, in epiphania sanctificatam, quæ dicitur *aqua benedicta major*, ὁ μέγας ἁγιασμὸς, et insuper alteram communiorem pro singulis mensibus, quam vocant aquam benedictam *minorem*, τὸν μικρὸν ἁγιασμόν. Haud dubie de posteriore agitur tam in superiore canone quam in Nicephoriano. Cf. Goar. *Euchol.* p. 358, 366, 377. — (7) Λέγειν cod. — (8) Ἀλλοτρίας. Ultimus canon 29 codicis idem erat ac nostrum Jejunatoris epitim. 7, sed brevius regestum : acta agere piget.